καὶ εἰπὸν τῷ λαῷ τούτῳ Ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε καὶ
10 βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε· 10ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ
λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν καὶ τοὺς
ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσιν τοῖς ὀφθαλμοῖς καὶ
τοῖς ὠσὶν ἀκούσωσιν καὶ τῇ καρδίᾳ συνῶσιν καὶ ἐπιστρέψωσιν
11 καὶ ἰάσομαι αὐτούς. 11καὶ εἶπα Ἕως πότε, κύριε; καὶ εἶπεν Ἕως
ἂν ἐρημωθῶσιν πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι καὶ οἶκοι παρὰ
12 τὸ μὴ εἶναι ἀνθρώπους καὶ ἡ γῆ καταλειφθήσεται ἔρημος. 12καὶ με-
τὰ ταῦτα μακρυνεῖ ὁ θεὸς τοὺς ἀνθρώπους, καὶ οἱ καταλειφθέν-
13 τες πληθυνθήσονται ἐπὶ τῆς γῆς· 13καὶ ἔτι ἐπ᾽ αὐτῆς ἔστιν τὸ ἐπι-
δέκατον, καὶ πάλιν ἔσται εἰς προνομὴν ὡς τερέβινθος καὶ ὡς βάλα-
νος ὅταν ἐκπέσῃ ἀπὸ τῆς θήκης αὐτῆς.

**7** 1Καὶ ἐγένετο ἐν ταῖς ἡμέραις Αχαζ τοῦ Ιωαθαμ τοῦ υἱοῦ Οζιου
βασιλέως Ιουδα ἀνέβη Ραασσων βασιλεὺς Αραμ καὶ Φακεε υἱὸς
Ρομελιου βασιλεὺς Ισραηλ ἐπὶ Ιερουσαλημ πολεμῆσαι αὐτὴν καὶ
2 οὐκ ἠδυνήθησαν πολιορκῆσαι αὐτήν. 2καὶ ἀνηγγέλη εἰς τὸν οἶκον
Δαυιδ λέγοντες Συνεφώνησεν Αραμ πρὸς τὸν Εφραιμ· καὶ ἐξέστη
ἡ ψυχὴ αὐτοῦ καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ, ὃν τρόπον ὅταν ἐν
3 δρυμῷ ξύλον ὑπὸ πνεύματος σαλευθῇ. 3καὶ εἶπεν κύριος πρὸς Η-
σαιαν Ἔξελθε εἰς συνάντησιν Αχαζ σὺ καὶ ὁ καταλειφθεὶς Ιασουβ
ὁ υἱός σου πρὸς τὴν κολυμβήθραν τῆς ἄνω ὁδοῦ τοῦ ἀγροῦ τοῦ
4 γναφέως 4καὶ ἐρεῖς αὐτῷ Φύλαξαι τοῦ ἡσυχάσαι καὶ μὴ φοβοῦ,
μηδὲ ἡ ψυχή σου ἀσθενείτω ἀπὸ τῶν δύο ξύλων τῶν δαλῶν τῶν
καπνιζομένων τούτων· ὅταν γὰρ ὀργὴ τοῦ θυμοῦ μου γένηται,
5 πάλιν ἰάσομαι. 5καὶ ὁ υἱὸς τοῦ Αραμ καὶ ὁ υἱὸς τοῦ Ρομελιου,
6 ὅτι ἐβουλεύσαντο βουλὴν πονηρὰν περὶ σοῦ λέγοντες 6Ἀναβησό-
μεθα εἰς τὴν Ιουδαίαν καὶ συλλαλήσαντες αὐτοῖς ἀποστρέψομεν
7 αὐτοὺς πρὸς ἡμᾶς καὶ βασιλεύσομεν αὐτῆς τὸν υἱὸν Ταβεηλ, 7τάδε
λέγει κύριος σαβαωθ Οὐ μὴ ἐμμείνῃ ἡ βουλὴ αὕτη οὐδὲ ἔσται·
8 8ἀλλ᾽ ἡ κεφαλὴ Αραμ Δαμασκός, ἀλλ᾽ ἔτι ἑξήκοντα καὶ πέντε ἐτῶν
9 ἐκλείψει ἡ βασιλεία Εφραιμ ἀπὸ λαοῦ, 9καὶ ἡ κεφαλὴ Εφραιμ Σο-

9 ακουσητε(uel -ται) AC | ειδητε SV† || 10 αυτων 1⁰ > S*, 2⁰ > B 393† | επιστρεψουσιν S | ιασωμαι V || 13 εκπεση] εκσπασθη A† | απο] εκ BLC | fin.] + σπερμα αγιον το στηλωμα αυτης LC (in O sub ※)

7 1 ρααςσων (cf. 8 6 et Regn. IV 15 37 16 5. 6. 9)] σ 2⁰ > Cp, ρασειν uel sim. BL: cf. 8 | ρομελιου] -λια BS*† || 2 λεγοντες AQ] -γων BSV†, -γοντων LC | ον τροπον / οταν Q mu.] tr. A†, οταν > BSLC || 3 ιασσουβ S† | υιος] αδελφος A† | του paenult. > BS† || 5 περι(L κατα) σου λεγοντες] > B†, περι σου ante βουλην tr. S†; pr. εφραιμ και ο υιος του(> C) ρο(uel ω)μελιου LC (in O sub ※) || 6 ιουδ.] ιδουμαιαν A†: cf. 36 1 44 26 Regn. I 17 1; + και κακωσομεν αυτην L | αυτης] -τοις A || 7 εμμεινη] εμ > BLC | η βουλη / αυτη] tr. S || 8 δαμασκος S* 393†] + και η κεφαλη δαμασκου ρασ(ε)ιμ(uel -ιν uel sim.) rel. (in O sub ※): ad ρασειμ(uel -ιν) cf. 1